χωρὶς ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις οἷς προσήκει, ἀγαπητὴ μὲν γὰρ συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτειρα τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός.

33 ἔστι δὲ τοῖς [μὲν] ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. ὕπνος δ' αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν· ὅταν δὲ ⟨δὴ⟩ ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαρι-

34 στοτάτην εὐδαιμονίαν κεκτῆσθαι. οὕτω πως διῴκει

---

1 δὲ om. A  2 alt. παρὰ AB παρ' rell. et Stob. προσήκω Schn.  3 ἀγαπητοὶ B[1]  γὰρ AΦ et Stob., om. B; cff. quae in Herm. voll. XXXVI et XXXIX disserui  4 παραστάτης AB[1] Stob. A  5 συλλήπτειρα Stob. -τρια codd.  6 ἐν τῷ πολέμῳ Y  ἀρίστη . . . κοινωνός om. Stob.  7 pr. μὲν om. Stob.  ἡδίων A  καὶ ἀπράγμων om. A  8 ἀπέχονται Muecke  ἂν ἕως ἂν R  10 ἀπολιπόντες B[1]X et Stob. αὐτῶν R  15 ταῖς (om. B[1]) παρούσαις Z  16 ὄντες (om. Y) θεοῖς Stob. M Br  17 δὴ Stob., om. codd. (ὅταν διέλθῃ X) πεπραγμένον Y  18 μνήμης] λήθης Y[1] νίκης(?) Y[2]  19 ταῦτα Z  πατέρων Y  20 Ἡράκλεις del. Cobet  μακαριωτάτην O μακαρίαν Stob. A  21 κτήσασθαι Stob  διῴκει MR διώκει rell. διοικεῖ Stob.

http://digital.slub-dresden.de/id408458038/68 UNIVERSITÄT LEIPZIG SLUB Wir führen Wissen.